**ΣΟΦΟΚΛΕΟΥΣ ΑΝΤΙΓΟΝΗ**

Ἰὼ γενεαὶ βροτῶν, Str. 1. (1185)
ὡς ὑμᾶς ἴσα καὶ τὸ μη-
δὲν ζώσας ἐναριθμῶ.
Τίς γάρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει
ἢ τοσοῦτον ὅσον δοκεῖν (1190)
καὶ δόξαντ’ ἀποκλῖναι;
Τὸν σόν τοι παράδειγμ’ ἔχων,
τὸν σὸν δαίμονα, τὸν σόν, ὦ (1193)
τλᾶμον Οἰδιπόδα, βροτῶν
οὐδὲν μακαρίζω· (1195)

ὅστις καθ’ ὑπερβολὰν Ant. 1. (1195)
τοξεύσας ἐκράτησε τοῦ
πάντ’ εὐδαίμονος ὄλβου,
ὦ Ζεῦ, κατὰ μὲν φθίσας

τὰν γαμψώνυχα παρθένον (1199)
χρησμῳδόν, θανάτων δ’ ἐμᾷ (1200)
χώρᾳ πύργος ἀνέστα· @1
ἐξ οὗ καὶ βασιλεὺς καλῇ (1201)
ἐμὸς καὶ τὰ μέγιστ’ ἐτι-
μάθης ταῖς μεγάλαισιν ἐν (1202)
Θήβαισ<ιν> ἀνάσσων.

Τανῦν δ’ ἀκούειν τίς ἀθλιώτερος; Str. 2. (1203)
τίς ἄταις ἀγρίαις, τίς ἐν πόνοις
ξύνοικος ἀλλαγᾷ βίου; (1205)
Ἰὼ κλεινὸν Οἰδίπου κάρα, (1208)
ᾧ μέγας λιμὴν αὐτὸς ἤρκεσεν
παιδὶ καὶ πατρὶ θαλαμηπόλῳ πεσεῖν, (1210)
πῶς ποτε πῶς ποθ’ αἱ πατρῷ-
αί σ’ ἄλοκες φέρειν, τάλας, (1211)
σῖγ’ ἐδυνάθησαν ἐς τοσόνδε;

Ἐφηῦρέ σ’ ἄκονθ’ ὁ πάνθ’ ὁρῶν χρόνος· Ant.
2. (1212)
δικάζει τὸν ἄγαμον γάμον πάλαι
τεκνοῦντα καὶ τεκνούμενον.
Ἰώ, Λαΐειον <ὦ> τέκνον·

[...]

Μέλλοντα ταῦτα. Τῶν προκειμένων τι χρὴ (1334)
πράσσειν· μέλει γὰρ τῶνδ’ ὅτοισι χρὴ μέλειν. (1335)
ΚΡ. Ἀλλ’ ὧν ἐρῶ μὲν ταῦτα συγκατηυξάμην.
ΧΟ. Μή νυν προσεύχου μηδέν· ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.
ΚΡ. Ἄγοιτ’ ἂν μάταιον ἄνδρ’ ἐκποδών,

ὅς, ὦ παῖ, σέ τ’ ούχ ἐκὼν κάκτανον
σέ τ’ αὖ τάνδ’, ὤμοι μέλεος, ούδ’ ἔχω
ὅπᾳ πρὸς πότερον ἴδω· πάντα γὰρ
λέχρια τάν χεροῖν, τὰ δ’ έπὶ κρατί μοι
πότμος δυσκόμιστος είσήλατο.

Πολλῷ τὸ φρονεῖν εύδαιμονίας
πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ’ είς θεοὺς
μηδὲν ἀσεπτεῖν; μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτείσαντες
γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

ΠΗΓΗ: **A. Dain and P. Mazon, *Sophocle, vol. 1*, vol. 1, Paris: Les Belles Lettres, 1955 (repr. 1967 (1st edn. rev.)): 72-122.**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?0011:002:63336

## ΕΥΡΙΠΙΔΟΥ ΙΩΝ

Ιω. ὦ δεινὰ τλᾶσα μῆτερ. Κρ. ἐν φόβῳ, τέκνον,
καταδεθεῖσα σὰν
ἀπέβαλον ψυχάν· (1498)
ἔκτεινά σ' ἄκουσ'. Ιω. ἐξ ἐμοῦ τ' [ούχ ὅσι']
ἔθνῃσκες. (1500)
Κρ. ἰώ· δειναὶ μὲν τότε τύχαι, (1502)
δεινὰ δὲ καὶ τάδ'· ἐλισσόμεσθ' ἐκεῖθεν @1
ἐνθάδε δυστυχίαισιν εὐτυχίαις τε πάλιν, (1505)
μεθίσταται δὲ πνεύματα.
μενέτω· τὰ πάροιθεν ἅλις κακά· νῦν δὲ (1508)
γένοιτό τις οὖρος ἐκ κακῶν, ὦ παῖ.
Χο. μηδεὶς δοκείτω μηδὲν ἀνθρώπων ποτὲ (1510)
ἄελπτον εἶναι πρὸς τὰ τυγχάνοντα νῦν.
Ιω. ὦ μεταβαλοῦσα μυρίους ἤδη βροτῶν
καὶ δυστυχῆσαι καὖθις αὖ πρᾶξαι καλῶς,
Τύχη, παρ' οἵαν ἤλθομεν στάθμην βίου
μητέρα φονεῦσαι καὶ παθεῖν ἀνάξια. (1515)
φεῦ·

ΠΗΓΗ: **G. Murray, *Euripidis fabulae*, vol. 2, 3rd edn., Oxford: Clarendon Press, 1913 (repr. 1966)**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?0006:013:73101

## ΕΥΡΙΠΙΔΟΥ ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ

Αθ. αἰνῶ· τὸ γὰρ χρεὼν σοῦ τε καὶ θεῶν κρατεῖ. @1
ἴτ', ὦ πνοαί, ναυσθλοῦσθε τὸν Ἀγαμέμνονος
παῖδ' εἰς Ἀθήνας· συμπορεύσομαι δ' ἐγὼ
σῴζουσ' ἀδελφῆς τῆς ἐμῆς σεμνὸν βρέτας.

Χο. — ἴτ' ἐπ' εὐτυχίᾳ τῆς σῳζομένης (1489)
μοίρας εὐδαίμονες ὄντες. (1490)
— ἀλλ', ὦ σεμνὴ παρά τ' ἀθανάτοις
καὶ παρὰ θνητοῖς, Παλλὰς Ἀθάνα,
δράσομεν οὕτως ὡς σὺ κελεύεις.
μάλα γὰρ τερπνὴν κἀνέλπιστον
φήμην ἀκοαῖσι δέδεγμαι. (1495)
— — — (1496)
ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα

ΠΗΓΗ: **G. Murray, *Euripidis fabulae*, vol. 2, 3rd edn., Oxford: Clarendon Press, 1913 (repr. 1966)**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?0006:013:73101

**ΕΥΡΙΠΙΔΟΥ ΗΡΑΚΛΕΙΔΑΙ**

Χο. οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ
βαρύποτμον, [στρ.
ἄνδρα γενέσθαι·
οὐδὲ τὸν αὐτὸν ἀεὶ βεβάναι δόμον
εὐτυχίᾳ· παρὰ δ’ ἄλλαν ἄλλα
μοῖρα διώκει.
τὸν μὲν ἀφ’ ὑψηλῶν βραχὺν ᾤκισε,
τὸν δ’ ἀλέταν εὐδαίμονα τεύχει.
μόρσιμα δ’ οὔτι φυγεῖν θέμις, οὐ σοφί-
ᾳ τις ἀπώσεται, ἀλλὰ μάταν ὁ πρό-
θυμος ἀεὶ πόνον ἕξει.

ἀλλὰ σὺ μὴ προπίτνων τὰ θεῶν φέρε, μηδ’
ὑπεράλγει [ἀντ.
φροντίδα λύπᾳ·
εὐδόκιμον γὰρ ἔχει θανάτου μέρος
ἁ μελέα πρό τ’ ἀδελφῶν καὶ γᾶς·

**ΠΗΓΗ: G. Murray, *Euripidis fabulae, vol. 1*, Oxford: Clarendon Press, 1902 (repr. 1966)**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?0006:004:0

**ΕΥΡΙΠΙΔΟΥ ΜΗΔΕΙΑ**

διὰ λεπτοτέρων μύθων ἔμολον
καὶ πρὸς ἁμίλλας ἦλθον μείζους
ἢ χρὴ γενεὰν θῆλυν ἐρευνᾶν·
ἀλλὰ γὰρ ἔστιν μοῦσα καὶ ἡμῖν,
ἣ προσομιλεῖ σοφίας ἕνεκεν·
πάσαισι μὲν οὔ· παῦρον †δὲ δὴ
γένος ἐν πολλαῖς εὕροις ἂν ἴσως†
κοὐκ ἀπόμουσον τὸ γυναικῶν.
καί φημι βροτῶν οἵτινές εἰσιν
πάμπαν ἄπειροι μηδ’ ἐφύτευσαν
παῖδας, προφέρειν εἰς εὐτυχίαν
τῶν γειναμένων.
οἱ μὲν ἄτεκνοι δι’ ἀπειροσύνην
εἴθ’ ἡδὺ βροτοῖς εἴτ’ ἀνιαρὸν
παῖδες τελέθουσ’ οὐχὶ τυχόντες
πολλῶν μόχθων ἀπέχονται·
οἷσι δὲ τέκνων ἔστιν ἐν οἴκοις @1
γλυκερὸν †βλάστημ’, ὁρῶ† μελέτῃ
κατατρυχομένους τὸν ἅπαντα χρόνον,
πρῶτον μὲν ὅπως θρέψουσι καλῶς
βίοτόν θ’ ὁπόθεν λείψουσι τέκνοις·

**ΠΗΓΗ: G. Murray, *Euripidis fabulae, vol. 1*, Oxford: Clarendon Press, 1902 (repr. 1966)**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?0006:004:0